*ὥσπερ Ταντάλοις ἐκ κεφαλῆς ἐκκρέμασθαί φασι, τοὺς δ᾿ οἰκοῦντας αὖ πάλιν ἐπ᾿ αὐτῆς ὥσπερ Ἰξίονας ἐνδεδεμένους ῥύμῃ τόσῃ. . . . καίτοι μίαν οὐ κινεῖται κίνησιν, ἀλλ᾿, ὥς που καὶ λέγεται, Τριοδῖτίς ἐστιν, ἅμα μῆκος ἐπὶ τοῦ ζῳδιακοῦ καὶ πλάτος φερομένη καὶ βάθος· ὧν* F *τὴν μὲν περιδρομὴν τὴν δ᾿ ἕλικα τὴν δ᾿ οὐκ οἶδα πῶς ἀνωμαλίαν ὀνομάζουσιν οἱ μαθηματικοί, καίπερ οὐδεμίαν †ὁμαλὴν οὐδὲ τεταγμένην ταῖς ἀποκαταστάσεσιν ὁρῶντες ἔχουσαν. οὔκουν εἰ λέων τις ἔπεσεν ὑπὸ ῥύμης εἰς Πελοπόννησον, ἄξιόν ἐστι θαυμάζειν, ἀλλ᾿ ὅπως οὐ μυρί᾿ ὁρῶμεν ἀεὶ ‘πεσήματ᾿ ἀνδρῶν καὶ ἀπολακτισμοὺς βίων’* (Aesch. Suppl. 937) *ἐκεῖθεν οἷον ἐκκυβιστώντων καὶ περιτρεπομένων.* |

**938** *Καὶ γὰρ γελοῖον περὶ μονῆς τῶν ἐκεῖ διαπορεῖν, εἰ μὴ γένεσιν μηδὲ σύστασιν ἔχειν δύνανται. ὅπου γὰρ Αἰγύπτιοι καὶ Τρωγλοδῦται, οἷς ἡμέρας μιᾶς ἀκαρὲς ἵσταται κατὰ κορυφὴν ὁ ἥλιος ἐν τροπαῖς εἶτ᾿ ἄπεισιν, ὀλίγον ἀπέχουσι τοῦ κατακεκαῦσθαι ξηρότητι τοῦ περιέχοντος, ἦπου τοὺς ἐπὶ τῆς σελήνης εἰκός ἐστι δώδεκα θερείας ὑπομένειν ἔτους ἑκάστου, κατὰ μῆνα τοῦ ἡλίου πρὸς κάθετον αὐτοῖς ἐφισταμένου καὶ στηρίζοντος, ὅταν ᾖ πανσέληνος; πνεύματά γε μὴν καὶ νέφη καὶ ὄμβρους, ὧν χωρὶς οὔτε γένεσις φυτῶν ἔστιν οὔτε σωτηρία γενομένοις,*